Σχόλια. Οὔποτε ποιήσεις τὸν καρκίνον.] οὔτε τοὺς Λακεδαιμονίους δηλονότι ὀρθὰ καὶ ἁπλᾶ φρονεῖν. Οὔποτε δειπνήσεις.] ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν Πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν, οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος, οὐδὲν ἐλάμβανεν ἐκ τοῦ δημοσίου σῖτον. ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. Επὶ τῷ πραχθέντι] ἐπὶ τῷ γενέσθαι τὴν εἰρήνην. Τὸν τραχὺν ἐχῖνον] οὐδὲ ὑμεῖς φιλίαν πρὸς Λακεδαιμονίους. ἄλλως. κάλλιστα πάμπαν τὸ εἰρημένον εἰς τὸ
A αὐτῶν μετενήνεγκαν πρόσωπον. οὐκοῦν φησίν. οὔτε ἡμᾶς πείσαις ἄν ποτε μεταδοῦναί σοί τινος, οὐδ᾽ ἠπίους σοι γεγονέναι, ὥσπερ οὐκ ἄν ποτε λεῖος ὁ τραχὺς ἐχῖνος γένοιτο.

CHRIST. Εν Πρυτανείῳ] Harioli & aruſpices habebant victum ex publico, vt habuit Lampon, ſed præcipuè belli tempore. Nam eorũ tunc vſus erat maximus. Itaque non mirum ſi Hierocles iſte pacem auerſatur.

B

Ὡς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
Εἰρήνην εἵλοντο, καὶ ἱδρύσανθ᾽ ἱερείῳ.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη, καὶ σπλάγχν᾽ ἐπάσαντο,
Ἔσπενδον δεπάεσσιν, ἐγὼ δ᾽ ὁδὸν ἡγεμόνευον.
Χρησμολόγῳ δ᾽ οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
Ιερ. Οὐ μετέχω τούτων, οὐ γὰρ ταῦτ᾽ εἶπε Σίβυλλα.
C Τρ. Ἀλλ᾽ ὁ σοφός τοι νὴ Δί᾽ Ὅμηρος δεξιὸν εἶπεν,
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
Ιερ. Φράζεο δή, μή πως σε δόλῳ φρένας ἐξαπατήσας
Ἰκτῖνος μάρψῃ. Τρ. Τουτὶ μέντοι σὺ φυλάττου.
Ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός,
D Ἔγχει δὴ σπονδήν, καὶ τῶν σπλάγχνων φέρε δευρί.
Ιερ. Ἀλλ᾽ εἰ ταῦτα δοκεῖ κἀγὼ ᾽μαυτῷ βαλανεύσω.
Τρ. Σπονδή, σπονδή.
Ιερ. Ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
E Τρ. Ἀλλ᾽ οὔπω τοῦτ᾽ ἐστὶν φίλον μακάρεσσι θεοῖσιν,
Ἀλλὰ τόδε πρότερον σπένδειν ἡμᾶς, σὲ δ᾽ ἀπελθεῖν.
Ὦ πότνι᾽ εἰρήνη παράμεινον τὸν βίον ἡμῖν.

*Sic inimica illi bellorum nube fugata*
*Pacem acceperunt, & ſuppoſuere bidenti:*
*Ac tandem toſtis ſtrebulis, extíſque comeſis,*
*Libarunt pateras læti præeunte viam me:*
*Sed nullum vati memini præbere culignam.*
*HIE. Hæc ego non capio, nec enim eſt effata Sibylla.*
*TRY. At ſapiens quondam ritè hoc prædixit Homerus,*
*Exſors ille domus, paupérque, extorris & exlex,*
*Quem bellum ciuile iuuat, crudele, nefandum.*
*HIE. Aſpice, ſis, ne quid per fraudem frauſus in extis*
*Subripiat miluus. TRY. quin hæc tua cautio ſola eſt:*
*Nempe iſthuc metuunt oraclum viſcera, verùm*
*Infunde huc libamen, & extra huc prouidus infer.*
*HIE. Si placet hoc vobis, mihi ero meus ipſe miniſter.*
*TR. Liba liba.*
*HIE. Funde etiam nobis, extorum & porrice partem.*
*TR. At nondum ſuperis placet immortalibus iſtuc,*
*Sed libare prius nos expedit, ipſe faceſſe.*
*O Dea pax tecum da poſſe extendere vitam.*

Σχόλια. Ὡς οἱ μέν.] ἀστείως πάνυ παρέπλεξε τὰ Ὁμήρου. Ἱδρύσανθ᾽ ἱερείῳ.] οὐ χύτραις ὡς ἄνω ἔλεγον. Ὁδὸν ἡγεμόνευον.] τῆς θυσίας ἠρξάμην. Κώθωνα.] νῦν τὸ ποτήριον, ἀλλαχοῦ δὲ κάνθαρον. διὰ δὲ τὸ ἠπορῆσθαι τὸν μάντιν ἐκ τῆς θυσίας αὐτὸν μηδὲν ταύτης ἀποκερδῆσαι, ἀλλὰ μηδὲ σπονδῆς μετασχεῖν, τοῦτο ἔπαιξε. κώθωνα δὲ λέγει τὸν νῦν λεγόμενον κύαθον εἶδος ποτηρίου λακωνικοῦ μονώτου ὀστρακίνου, ὃν ἑρσκὸν καλοῦσι πλυτήριον. ἐπειδὴ μεστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. καὶ κωθωνίσαι μεθύσαι ὡς τὸ ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ᾽ ἡμέρας. Σίβυλλα] οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ τῇ χρησμολόγῳ. ἄλλως. τὰ ἔπη φησὶ ταῦτα μὴ ἐπιγινώσκειν. μόνα δὲ εἰδέναι τὰ σιβύλλεια. οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ.

CHRIST. Κώθωνα] κώθων vel κύαθος aut κύτλος ſecundum Heſychium genus eſt poculi Laconici teſtacei monotæ. i. vnicam anſam habentis: vocatur etiam ἑρσκὸν πλυτήριον. Sumitur etiam ἐπὶ τοῦ ἀτάκτου & μεθυσοῦ, vnde κωθωνίζειν. Puto ego κώθωνα & κυλίχνην, quæ culigna eſt,
F non multum differre. Οὐ γὰρ ταῦτ᾽ εἶπε Σίβυλλα] Sapit hoc Prouerbium: Et Dion Chryſoſtomus dixit, οὐδ᾽ ἂν ἀληθέστερα εἴπω τῶν Σιβύλλης ἢ Βάκιδος.

Σχόλια. Επιδημίου.] τὸ ἐπιδημίου οὐκ ἔστι πρὸς τὰ προκείμενα, πρὸς ἀλλοχώρους γὰρ ἦν ὁ πόλεμος, ἀλλὰ μᾶλλον πρὸς τὸ πολέμου ἔραται. εἰ μὴ ἄρα τῇ τῶν Ἑλλήνων ὀνομασίᾳ, ἐπιδήμιος δόξει Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὁ πόλεμος. Ὡς οὗτος φο-
G βερός.] ἀντὶ τοῦ εἰπεῖν ὁ ἰκτῖνος. χαλεπὸς γὰρ οὗτος τοῖς σπλάγχνοις. ἄλλως. εἰώθασι γὰρ οἱ μάντεις μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων λέγειν, ὅτι προῄδειν τοῦτο τὸ ἐσόμενον. πρὶν δὲ γενέσθαι οὔτε προΐσασιν οὐδὲν οὔτε λέγουσιν. Βαλανεύσω] διακονήσω, ὑπουργήσω, καὶ ἐγχέω ἐμαυτοῦ τὴν σπονδὰν ἀπὸ τῶν ἑαυτοῖς ἐπιχεόντων ὕδωρ, ἢ τοὺς βαλάνους κρυπτόντων τῷ πυρί. τὸ δὲ σπονδή, παρεπιγραφὴ ἐν εἰθέσει κῶλα διασπονδεῖ.